ΑΗ ΗΒ· ὁ δὲ ΔΕ ἕκαστος τοῦ Ζ μέρη, τοῦ ΔΘ ΘΕ· ἔσται δὴ
ἴσον τὸ πλῆθος τῶν ΑΗ ΗΒ τῷ πλήθει τῶν ΔΘ ΘΕ.
καὶ ἐπεὶ ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ
ὁ ΔΘ τοῦ Ζ· ἐναλλὰξ ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ
μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη·
διὰ τὰ αὐτὰ δὴ καὶ ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ ΘΕ ἢ μέρη,
τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη· ὥστε
καὶ ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέ-
ρος ἐστὶ καὶ ὁ ΗΒ τοῦ ΘΕ ἢ τὰ αὐτὰ
μέρη· καὶ ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΗ
τοῦ ΔΘ ἢ μέρη, τὸ αὐτὸ μέρος
ἐστὶ καὶ ὁ ΑΒ τοῦ ΔΕ ἢ τὰ αὐτὰ μέρη·
ἀλλ' ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ ΔΘ ἢ
μέρη, τὸ αὐτὸ μέρος ἐδείχθη
καὶ ὁ Γ τοῦ Ζ ἢ τὰ αὐτὰ μέρη·
καὶ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ
ΔΕ ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ
καὶ ὁ Γ τοῦ Ζ ἢ τὸ αὐτὸ μέρος·
ὅπερ ἔδει δεῖξαι :~



[illegible marginal note]

ια

Ἐὰν ᾖ ὡς ὅλος πρὸς ὅλον, οὕτως ἀφαιρεθεὶς πρὸς
ἀφαιρεθέντα, καὶ ὁ λοιπὸς πρὸς τὸν λοιπὸν ἔσται
ὡς ὅλος πρὸς ὅλον. ἔστω ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον
τὸν ΓΔ, οὕτως ἀφαιρεθεὶς ὁ ΑΕ πρὸς ἀφαιρε-
θέντα τὸν ΓΖ· λέγω ὅτι καὶ λοιπὸς ὁ ΕΒ πρὸς
λοιπὸν τὸν ΖΔ ἐστὶν ὡς ὅλος ὁ ΑΒ πρὸς ὅλον τὸν
ΓΔ. ἐπεί ἐστιν ὡς ὁ ΑΒ πρὸς τὸν ΓΔ, οὕτως ὁ ΑΕ

ὃ ἄρα μέρος ἐστὶν
πρὸς τὸν ΓΖ, ὃ [illegible] ἢ μέρη, τὸ αὐτὸ
μέρος ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ ἢ τὰ αὐ-
τὰ μέρη· καὶ λοιπὸς ἄρα
ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ
μέρος ἐστὶν ἢ μέρη, ὅπερ
ὁ ΑΒ τοῦ ΓΔ· ἔστιν ἄρα ὡς
ὁ ΕΒ πρὸς τὸν ΖΔ, οὕτως ὁ
ΑΒ πρὸς τὸν ΓΔ. ὅπερ ἔδει
δεῖξαι :~



τοῦτο τὸ β΄ [illegible] καθολικώτερον [illegible] ἐκεῖ διῃρημένον [illegible] ἐνταῦθα [illegible] συνῃρημένως

ιβ

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον, ἔσται ὡς εἷς
τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕ-
τως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς
ἑπομένους. ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλο-
γον οἱ ΑΒ ΓΔ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς
τὸν Δ· λέγω ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ
ΑΓ πρὸς τοὺς ΒΔ. ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β,
οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα
μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη,
τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ
μέρη· καὶ συναμφότερος ἄ-
ρα ὁ ΑΓ συναμφοτέρου τοῦ
ΒΔ τὸ αὐτὸ μέρος ἐστὶν ἢ τὰ
αὐτὰ μέρη, ὅπερ ὁ Α τοῦ Β·
ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β,
οὕτως οἱ ΑΓ πρὸς τοὺς ΒΔ. ὅπερ ἔδει δεῖξαι :~



[illegible marginal notes]

BIBLIOTHECA BODLEIANA